# ЄΥΑΓΓЄΛΙΟΝ ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ

**1:**1 ***Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ*[1]*, υἱοῦ***
***Ἀβραάμ·*** 2 ***Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ***
***ἐγέννησεν τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ***
***τοὺς ἀδελφοὺς αὐτοῦ,*** 3 ***Ἰούδας δὲ ἐγέννησεν τὸν Φαρὲς καὶ***
***τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ, Φαρὲς δὲ ἐγέννησεν τὸν Ἑσρώμ,***
***Ἑσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ,*** 4 ***Ἀρὰμ δὲ ἐγέννησεν τὸν***
***Ἀμιναδάβ, Ἀμιναδὰβ*[2] *δὲ ἐγέννησεν τὸν Ναασσών, Ναασσὼν***
***δὲ ἐγέννησεν τὸν Σαλμών,*** 5 ***Σαλμὼν δὲ ἐγέννησεν τὸν Βοὸζ***
***ἐκ τῆς Ῥαχάβ, Βοὸζ*[3] *δὲ ἐγέννησεν τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ,***
***Ὠβὴδ*[4] *δὲ ἐγέννησεν τὸν Ἰεσσαί,*** 6 ***Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν***

---

[1] ***Δαυιδ***: 𝔓$^{1}$ // ***Δαυειδ***: B W$^{vid}$ // ***Δ̅α̅δ̅***: א E K L M S U V Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect // illeg.: 047 // undec.: lat (David) syr (דדויד)

[2] ***Αμιναδαβ Αμιναδαβ***: C E K L M S U V W Π Σ Ω 3 f$^{35}$ 𝔐$^{70\%}$ lect **lat** (Aminadab Aminadab) **syr** (לעמינדב עמינדב) // ***Αμιναδαμ Αμιναδαμ***: Γ 89 𝔐$^{30\%}$ // ***Αμιναδαβ Αμιναδαμ***: א // ***Αμειναδαβ Αμειναδαβ***: B Δ // ***Αμμιναδαβ Αμμιναδαβ***: 𝔓$^{1vid}$

[3] ***Βοοζ ... Βοοζ***: E K L M S U V W Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect **lat** (Booz ... Booz) **syr** (לבעז ... בעז) // ***Βοες ... Βοες***: 𝔓$^{1}$ א B // ***Βοος ... Βοος***: C // illeg.: 047

[4] ***Ωβηδ ... Ωβηδ***: C$^{c}$ K M S U V W Γ Π Ω 3 89 f$^{35}$ 𝔐 lect **lat** (Obed ... Obed) **syr** (לעוביד ... עוביד) // ***Ιωβηδ ... Ιωβηδ***: 𝔓$^{1}$ א B C* Δ // ***Ωβηθ ... Ωβηδ***: Σ // ***Οβηδ ... Οβηδ***: E L // ***Οβιδ ... Ιοβιδ***: 0211$^{vid}$ // illeg.: 047

*Δαυὶδ τὸν βασιλέα· Δαυὶδ*[1] *δὲ [ὁ βασιλεὺς]*[2] *ἐγέννησεν τὸν*
*Σολομῶνα*[3] *ἐκ τῆς τοῦ Οὐρίου*, 7 *Σολομὼν δὲ ἐγέννησεν τὸν*
*Ῥοβοάμ, Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησεν*
*τὸν Ἀσά*, 8 *Ἀσὰ*[4] *δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ*
*ἐγέννησεν τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν*, 9
*Ὀζίας*[5] *δὲ ἐγέννησεν τὸν Ἰωάθαμ, Ἰωάθαμ δὲ ἐγέννησεν τὸν*
*Ἄχαζ, Ἄχαζ δὲ ἐγέννησεν τὸν Ἐζεκίαν*, 10 *Ἐζεκίας δὲ*
*ἐγέννησεν τὸν Μανασσῆ*[6], *Μανασσῆς δὲ ἐγέννησεν τὸν*

---

1 *Δαυιδ* ... *Δαυιδ*: 𝔓$^{1vid}$ // *Δαυειδ* ... *Δαυειδ*: B W // *Δ̅α̅δ̅* ... *Δαυειδ*: א // *Δ̅α̅δ̅* ... *Δ̅α̅δ̅*: C E K L M S U V Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect // illeg.: 047 // undec.: lat (David ... David) syr (לדויד ... דויד)

2 *ο βασιλευς*: C E K L M S U V W Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect **lat** (rex) // –: 𝔓$^{1}$ א B Γ **syr**

3 *Σολομωνα*: 𝔓$^{1vid}$ B C E K L M S U V Γ Π Ω 0211$^{vid}$ 89 f$^{35}$ 𝔐 // *Σολομωντα*: W Δ Σ 3 lect$^{?}$ // *Σαλομων*: א* // *Σαλωμωνα*: א$^{c}$ // illeg.: 047 // undec.: lat (Salomonem) syr (לשלימון)

4 *Ασα Ασα*: E K L M S U V W Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect **lat** (Asa Asa) **syr** (לאסא אסא) // *Ασα Ασσα*: Γ // *Ασαφ Ασαφ*: 𝔓$^{1vid}$ א B C // illeg.: 047

5 *Οζιαν Οζιας*: א$^{c}$ B$^{c}$ C E K L M S U V Γ Π Σ Ω 3 89 f$^{35}$ 𝔐 lect // *Οζειαν Οζειας*: 𝔓$^{1}$ B* W Δ // *Οζειαν Οζιας*: א* // undec.: lat (Oziam Ozias) syr (עוזיא לעוזיא)

6 *Μανασση*: א B C E K L M S U V W Γ Θ Π Ω 3 𝔐 lect // *Μανασσην*: Δ* Σ 89 f$^{35}$ // *Μαννασσην*: Δ$^{c}$ // *Μανασι*: 0211 // undec.: lat (Manassen) syr (למנשא) // illeg.: 047

Ἀμών, Ἀμὼν[1] δὲ ἐγέννησεν τὸν Ἰωσίαν, 11 Ἰωσίας[2] δὲ
ἐγέννησεν τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς
μετοικεσίας Βαβυλῶνος· 12 μετὰ δὲ τὴν μετοικεσίαν[3]
Βαβυλῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ
ἐγέννησεν τὸν Ζοροβάβελ, 13 Ζοροβάβελ δὲ ἐγέννησεν τὸν
Ἀβιούδ, Ἀβιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακείμ, Ἐλιακεὶμ[4] δὲ
ἐγέννησεν τὸν Ἀζώρ, 14 Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ,
Σαδὼκ δὲ ἐγέννησεν τὸν Ἀχείμ, Ἀχεὶμ[5] δὲ ἐγέννησεν τὸν
Ἐλιούδ, 15 Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ
ἐγέννησεν τὸν Ματθάν, Ματθὰν δὲ ἐγέννησεν τὸν Ἰακώβ, 16

---

[1] *Αμων Αμων*: E K L S U V W Σ Ω 047 0211 3 89 f$^{35}$ 𝔐 lect **lat** (Amon Amon) **syr** (לאמון אמון) // *Αμων Αμω*: Π$^{c}$ // *Αμως Αμως*: א B C M Γ Δ Θ Π* // *Αμως Αμω*: Π*

[2] *Ιωσιαν Ιωσιας*: B$^{c}$ C E K L M S U V W Γ Π Σ Θ Ω 3 89 f$^{35}$ 𝔐 lect // *Ιωσειαν Ιωσειας*: א* B* Δ // *Ιωσιαν Ιωσειας*: א$^{c}$ // undec.: lat (Iosiam Iosias) syr (יושיא ליושיא)

[3] *μετοικεσιας ... μετοικεσιαν*: א B C M P W Θ Γ 3 89 f$^{35}$ 𝔐 lect // *μετοικησιας ... μετοικησιαν*: K L S U V Π Σ Ω 047 // *μετοικισιας ... μετοικησιαν*: E // *μετοικειας ... μετοικεσιαν*: Δ // *μετοικησια ... μετοικησια*: 0211 // undec.: lat (transmigratione ... transmigrationem) syr (גלותא בגלותא)

[4] *Ελιακειμ Ελιακειμ*: א B C E K L P U Γ Θ 047 0211 3 89 f$^{35}$ 𝔐 lect // *Ελιακιμ Ελιακιμ*: M S V W Π Σ Ω // *Ηλιακειμ Ηλιακειμ*: Δ // undec.: lat (Eliachim Eliachim) syr (לאליקים אליקים)

[5] *Αχειμ Αχειμ*: 𝔓$^{1}$ א* B C E K P U Γ Θ Π 047 0211 3 89 f$^{35}$ 𝔐 lect // *Αχιμ Αχιμ*: א$^{c}$ L M S V Ω // *Αχειν Αχειν*: W Δ // Acin Acin: Σ // *Αχειμ* or *Αχιμ*: **lat** (Achim Achim) // *Αχειν* or *Αχιν*: **syr** (לאכין אכין)

***Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς
ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός·*** 17 ***πᾶσαι οὖν αἱ
γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ
Δαυὶδ***[1] ***ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες,
καὶ ἀπὸ τῆς μετοικεσίας***[2] ***Βαβυλῶνος ἕως τοῦ Χριστοῦ
γενεαὶ δεκατέσσαρες·*** 18 ***τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γένεσις***[3]
***οὕτως ἦν· μνηστευθείσης*** [4] ***τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ
Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ
Πνεύματος Ἁγίου·*** 19 ***Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν
καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι***[5], ***ἐβουλήθη λάθρα
ἀπολῦσαι αὐτήν·*** 20 ***ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ
ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ λέγων· Ἰωσὴφ υἱὸς***

---

1 ***Δαυιδ*** ... ***Δαυιδ***: $\mathfrak{P}^{1}$ // ***Δαυειδ*** .. ***Δαυειδ***: B W Θ // ***Δ̅α̅δ̅***: ℵ C E K L M P S U V Z Γ Δ Π Σ Ω 047 0211(second: h.t.) 3 89 lect // undec.: lat (David ... David) syr (לדויד דויד)

2 ***μετοικεσιας*** ... ***μετοικεσιας***: $\mathfrak{P}^{1}$ ℵ B C M P W Z Γ Δ 3 89 f$^{35}$ $\mathfrak{M}$ lect // ***μετοικησιας*** ... ***μετοικησιας***: K L S U V Π Σ Ω 047 // ***μετοικισιας*** ... ***μετοικησιας***: E // ***μητοικεσιας*** ... ***μετοικεσιας***: Θ // ... ***μετοικησια***: 0211(first: h.t.) // undec.: lat (transmigrationem ... transmigratione) syr (גלותא לגלותא)

3 ***γενεσις***: $\mathfrak{P}^{1}$ ℵ B C P S W Z Δ Θ Σ 0211$^{vid}$ **lat**$^{vid}$ (generatio) // ***γεννησις***: E K L M U V Γ Π Ω 047 3 89 f$^{35}$ $\mathfrak{M}$ lect **syr**$^{vid}$ (ילדה)

4 txt: $\mathfrak{P}^{1}$ ℵ B C* Z **lat syr** // + ***γαρ***: C$^{c}$ E K L M P S U V W Γ Δ Θ Π Σ Ω 047 0211 3 89 f$^{35}$ $\mathfrak{M}$ lect

5 ***παραδειγματισαι***: ℵ* ℵ$^{cc}$ C E K L M P S U V W Γ Δ Θ Π Σ Ω 047 0211 3 89 f$^{35}$ $\mathfrak{M}$ lect // ***δειγματισαι***: ℵ$^{c}$ B Z // undec.: lat (traducere) syr (דנפרסיה) // illeg.: $\mathfrak{P}^{1}$

*Δαυίδ*[1], *μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ*[2] *τὴν γυναῖκά σου·*
*τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου·* 21
*τέξεται δὲ υἱόν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς*
*γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν·* 22
*τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ [τοῦ]*[3]
*Κυρίου διὰ τοῦ προφήτου λέγοντος·* 23 *ἰδοὺ ἡ παρθένος ἐν*
*γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ*
*Ἐμμανουήλ, ὅ ἐστιν μεθερμηνευόμενον μεθ᾽ ἡμῶν ὁ Θεός·*
24 *διεγερθεὶς*[4] *δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν ὡς*
*προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου καὶ παρέλαβεν τὴν*
*γυναῖκα αὐτοῦ,* 25 *καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν τὸν*
*υἱὸν αὐτῆς τὸν πρωτότοκον*[5]*· καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ*
*Ἰησοῦν.*

---

[1] *Δαυιδ*: // *Δαυειδ*: B W Θ // *Δ͞α͞δ*: א C E K L M P S U V Z Γ Δ Π Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect // undec.: lat (David) syr (דדויד) // illeg.: 𝔓[1]

[2] *Μαριαμ*: א C D E K M P S U V W Z Γ Δ Θ Π Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect // *Μαριαν*: B L // undec.: lat (Mariam) syr (למרים) // illeg.: 𝔓[1]

[3] *του*: E K L M S U V Γ Π Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect // –: א B C D W Z Δ Σ // undec.: lat syr / illeg.: 𝔓[1]

[4] *διεγερθεις*: $C^c$ D E K L M S U V W Γ Δ Π Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect // *εγερθεις*: א B C* Z // undec.: lat (exsurgens) syr (כד קם)

[5] *τον υιον αυτης τον πρωτοτοκον*: C D* E K M N S U V W Γ Δ Π Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect **lat** (filium suum primogenitum) **syr** (לברה בוכרא) // *τον υιον τον πρωτοτοκον*: $D^c$ L // *υιον*: א B Z

*α̅ περὶ τῶν μάγων*

**2:**1 ***Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν***
***ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν***
***παρεγένοντο εἰς Ἱεροσόλυμα***[1] 2 ***λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς***
***βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ***
***ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ·*** 3 ***ἀκούσας δὲ***
***Ἡρῴδης ὁ βασιλεὺς***[2] ***ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ’***
***αὐτοῦ,*** 4 ***καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ***
***γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ’ αὐτῶν ποῦ ὁ Χριστὸς***
***γεννᾶται·*** 5 ***οἱ δὲ εἶπον***[3] ***αὐτῷ· ἐν Βηθλεὲμ τῆς Ἰουδαίας·***
***οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου·*** 6 ***καὶ σὺ Βηθλεέμ,***
***γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ***
***σοῦ***[4] ***γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου***
***τὸν Ἰσραήλ·*** 7 ***τότε Ἡρῴδης λάθρα καλέσας τοὺς μάγους***
***ἠκρίβωσεν παρ’ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος,*** 8
***καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπεν· πορευθέντες ἐξετάσατε***

---

1 ***Ιεροσολυμα***: א B $C^c$ D M Z Γ 89 $f^{35}$ $\mathfrak{M}^{65\%}$ lect // ***Ιερουσαλημ*** (***Ι̅λ̅η̅μ̅***): C* E K L N S U V W Δ Π Σ Ω 047 0211 3 $\mathfrak{M}^{35\%}$ // undec.: lat (Hierosolymam) syr (לאורשלם)

2 ***Ηρωδης ο βασιλευς***: C E K L M N S U V W Γ Δ Π Σ Ω 047 3 89 $f^{35}$ $\mathfrak{M}$ lect lat (Herodes rex) syr (הרודס מלכא) // ***ο βασιλευς Ηρωδης***: א B D Z 0211

3 ***ειπον***: C D E K L M N S U V W Z Γ Δ Π Σ Ω 047 3 89 $f^{35}$ $\mathfrak{M}$ lect // ***ειπαν***: א B 0211 // undec.: lat (dixerunt) syr (אמרו)

4 ***εκ σου***: $B^c$ E K L M N S U W Z Δ Π Σ Ω 3 89 $f^{35}$ $\mathfrak{M}$ lect lat (ex te) syr (מנכי) // ***εξ σου***: B* // ***εξ ου***: א C 3 // ***εκ ου***: D

***ἀκριβῶς*[1] *περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι,***
***ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ·*** 9 ***οἱ δὲ ἀκούσαντες τοῦ***
***βασιλέως ἐπορεύθησαν· καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ***
***ἀνατολῇ, προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη*[2] *ἐπάνω οὗ ἦν τὸ***
***παιδίον·*** 10 ***ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην***
***σφόδρα·*** 11 ***καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον*[3] *τὸ παιδίον μετὰ***
***Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ·***
***καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ***
***δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν·*** 12 ***καὶ***
***χρηματισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι᾽***
***ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν·*** 13
***ἀναχωρησάντων δὲ αὐτῶν ἰδοὺ ἄγγελος Κυρίου φαίνεται***
***κατ᾽ ὄναρ τῷ Ἰωσὴφ λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον***
***καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον· καὶ ἴσθι ἐκεῖ***
***ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον τοῦ***
***ἀπολέσαι αὐτό·*** 14 ***ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ***
***τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον,*** 15
***καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου· ἵνα πληρωθῇ τὸ***

---

[1] ***εξετασατε ακριβως***: א B C* D Σ **lat** (interrogate diligenter) **syr** (חפיטאית ... עקבו) // ***ακριβως εξετασατε***: $C^{c}$ E K L M S U V W Γ Δ Π Ω 0211 3 89 $f^{35}$ 𝔐 lect

[2] ***εστη***: E K L M S U V W Γ Δ Π Σ Ω 0211 3 89 $f^{35}$ 𝔐 lect // ***εσταθη***: א B C D // undec.: lat (staret) syr (קם)

[3] ***ειδον***: א B C D E K L M S U V W Γ Δ Π Σ Ω 0211 3 89 $f^{35}$ 𝔐 **syr** (וחזאוהי) // ***ευρον***: lect$^{?}$ **lat** (invenerunt)

*ῥηθὲν ὑπὸ [τοῦ]*[1] *Κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἐξ*
*Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.*

*β̅ περὶ τῶν ἀναιρεθέντων παιδίων*

**2:**16 *Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων,*
*ἐθυμώθη λίαν*[2], *καὶ ἀποστείλας ἀνεῖλεν πάντας τοὺς παῖδας*
*τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς*
*καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν*
*μάγων·* 17 *τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ*[3] *Ἱερεμίου τοῦ*
*προφήτου λέγοντος·* 18 *φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη,* [4] *κλαυθμὸς*
*καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ*
*ἤθελεν παρακληθῆναι, ὅτι οὐκ εἰσίν·* 19 *τελευτήσαντος δὲ τοῦ*
*Ἡρῴδου ἰδοὺ ἄγγελος Κυρίου φαίνεται κατ᾿ ὄναρ*[5] *τῷ*
*Ἰωσὴφ ἐν Αἰγύπτῳ* 20 *λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον*
*καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν Ἰσραήλ·*
*τεθνήκασιν γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου·* 21 *ὁ δὲ*

---

[1] *του*: E K L M S U V Γ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect // –: ℵ B C D W Z Δ Π Σ 0250 // undec.: lat syr

[2] *λιαν*: ℵ$^{c}$ B$^{c}$ C E K L M S U V W Z$^{vid}$ Γ Δ Π Ω 0211 0250 3 89 f$^{35}$ 𝔐 lect // *λειαν*: ℵ* B* D Σ // undec.: lat (valde) syr (טב)

[3] *δια*: ℵ B C W Z 0250 **lat** (per) **syr** (ביד) // *υπο*: E K L M S U V Γ Δ Π$^{c}$ Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect // *υπο Κυριου δια*: D // *υπο του*: Π*

[4] txt: ℵ B Z 0250 **lat syr** // + *θρηνος και*: C D E K L M S U V W Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect

[5] *φαινεται κατ οναρ*: ℵ B D Z Σ 0250$^{vid}$ **lat** (apparuit ... in somnis) **syr** (בחלמא ... אתחזי) // *κατ οναρ φαινεται*: C E K L M S U V W Γ Δ Π Ω 0211 3 89 f$^{35}$ 𝔐 lect

***ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ***
***ἦλθεν***[1] ***εἰς γῆν Ἰσραήλ·*** 22 ***ἀκούσας δὲ ὅτι Ἀρχέλαος***
***βασιλεύει ἐπὶ***[2] ***τῆς Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ πατρὸς αὐτοῦ***[3]***,***
***ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ' ὄναρ***
***ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας,*** 23 ***καὶ ἐλθὼν***
***κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ***[4]***· ὅπως πληρωθῇ τὸ***
***ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος κληθήσεται.***

*γ̅ πρῶτος Ἰωάννης ἐκήρυξεν βασιλείαν οὐρανῶν*

**3:**1 ***Ἐν δὲ***[5] ***ταῖς ἡμέραις ἐκείναις παραγίνεται***[6] ***Ἰωάννης ὁ***
***βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας*** 2 ***καὶ***[7]
***λέγων· μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·*** 3

---

1 ***ηλθεν***: D E K L M N S U V W Γ Δ Π Σ Ω 0211 0250 3 89 f$^{35}$ 𝔐 lect **lat** (venit) **syr** (ואתא) // ***εισηλθεν***: ℵ B C

2 ***επι***: C D E K L M S U V W Γ Δ Π Ω 0211 0250 3 89 f$^{35}$ 𝔐 lect **lat$^{vid}$** (regnaret in Iudaea) **syr$^{vid}$** (הוא מלכא ביהוד) // –: ℵ B N Σ

3 ***Ηρωδου του πατρος αυτου***: C$^{c}$ D E K L M N S U V Γ Δ Π Σ Ω 0211 0250 3 89 f$^{35}$ 𝔐 lect **lat** (Herode patre suo) **syr** (הרודס אבוהי) // ***του πατρος αυτου Ηρωδου***: ℵ B C* W

4 ***Ναζαρετ***: ℵ B D L 3 89 f$^{35}$ 𝔐 lect // ***Ναζαρεθ***: C E K M N S U V W Γ Π Σ Ω 0211 0250 **lat** (Nazareth) **syr$^{vid}$** (נצרת) // ***Ναζαραθ***: Δ // ***Ναζαρα***: 𝔓$^{70vid}$

5 ***δε***: ℵ B C U W 89 f$^{35}$ 𝔐$^{50\%}$ **lat** (autem) **syr** (דין) // –: D E K L M N S V Γ Δ Π Σ Ω 0211 3 𝔐$^{50\%}$ // ***εν δε ταις ημεραις εκειναις*** ] ***τω καιρω εκεινω***: lect

6 ***παραγινεται***: ℵ$^{c}$ B$^{c}$ C E K L M S U Δ Π Σ Ω 3 89 f$^{35}$ 𝔐 lect // ***παραγεινεται***: ℵ* B* D N W // undec.: lat (venit) syr (אתא)

7 ***και***: C D E K L M N S U V W Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect **lat** (et) **syr** ([ו]אמר) // –: ℵ B

***οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς διὰ***[1] ***Ἡσαΐου τοῦ προφήτου***
***λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν***
***Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ·*** 4 ***αὐτὸς δὲ ὁ***
***Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ***
***ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ αὐτοῦ***
***ἦν***[2] ***ἀκρίδες καὶ μέλι ἄγριον·*** 5 ***τότε ἐξεπορεύετο πρὸς αὐτὸν***
***Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ***
***Ἰορδάνου,*** 6 ***καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ [ποταμῷ]***[3] ***ὑπ᾽***
***αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν·*** 7 ***ἰδὼν δὲ***
***πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ***
***βάπτισμα αὐτοῦ***[4] ***εἶπεν αὐτοῖς· γεννήματα ἐχιδνῶν, τίς***
***ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;*** 8 ***ποιήσατε***
***οὖν καρπὸν ἄξιον***[5] ***τῆς μετανοίας·*** 9 ***καὶ μὴ δόξητε λέγειν ἐν***
***ἑαυτοῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι***
***δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ***

---

1 *δια*: א B C D W **lat** (per) **syr** (ביד) // ***υπο***: E K L M N S U V Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect

2 ***αυτου ην***: E K L M N S U V Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 lect **lat** (eius erat) // ***ην αυτου***: א B C D W // undec.: syr (ומאכולתה)

3 ***ποταμω***: א B C* M W Δ Σ 89 𝔐$^{30\%}$ **syr** (נהרא) // –: C$^{c}$ D E K L S U V Γ Π Ω 0211 3 f$^{35}$ 𝔐$^{70\%}$ lect **lat**

4 ***αυτου***: א$^{c}$ C D E K L M S U V W Γ Δ Π Σ 3 89 f$^{35}$ 𝔐 **lat** (suum) // –: א* B // undec.: syr (למעמד) // no text: lect

5 ***καρπον αξιον***: א B C D$^{s}$ E K M S V W Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 **lat** (fructum dignum) // ***καρπους αξιους***: L U **syr?** (פארא דשוין) // no text: lect

*Ἀβραάμ·* 10 *ἤδη δὲ* [1] *ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων*
*κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται*
*καὶ εἰς πῦρ βάλλεται·* 11 *ἐγὼ μὲν βαπτίζω ὑμᾶς*[2] *ἐν ὕδατι εἰς*
*μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν,*
*οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς*
*βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί*[3]*·* 12 *οὗ τὸ πτύον ἐν τῇ*
*χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει*
*τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει*
*πυρὶ ἀσβέστῳ·* 13 *τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς*
*Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ*
*βαπτισθῆναι ὑπ᾽ αὐτοῦ·* 14 *ὁ δὲ Ἰωάννης*[4] *διεκώλυεν αὐτὸν*
*λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ*
*πρός με;* 15 *ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν· ἄφες*
*ἄρτι· οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν*

---

[1] txt: ℵ B C D$^{s}$ M W Δ 0211 **lat**$^{vid}$ (iam enim) **syr** // + *και*: E K L S U V Γ Π Σ Ω 3 89 f$^{35}$ 𝔐 // no text: lect

[2] *βαπτιζω υμας*: C D$^{s}$ E K L M S U V Γ Δ Π Σ Ω 0211 3 89 f$^{35}$ 𝔐 **syr** (אנא לכון אנא מעמד) // *υμας βαπτιζω*: 𝔓$^{101vid}$ B W **lat** (vos baptizw) // *γαρ υμας βαπτιζω*: ℵ* // *υμας βατιζω εν υδατι* ] *γαρ υμας εν υδατι βαπτιζω*: ℵ$^{c}$ // no text: lect

[3] *και πυρι*: 𝔓$^{101vid}$ ℵ B C D$^{s}$ K L M U W Γ Δ Π Σ 0211 𝔐$^{5\%}$ **lat** (et igni) **syr** (ובנורא) // –: E S V Ω 3 89 f$^{35}$ 𝔐$^{95\%}$ // no text: lect

[4] *Ιωαννης*: 𝔓$^{96vid}$ ℵ$^{c}$ C D$^{s}$ E K L M P S U V W Γ Δ Σ Ω 0250 3 89 f$^{35}$ 𝔐 lect **lat** (Iohannes) **syr** (יוחנן) // –: ℵ* B

*δικαιοσύνην· τότε ἀφίησιν αὐτόν·* 16 *βαπτισθεὶς δὲ*[1] *ὁ Ἰησοῦς*
*εὐθὺς ἀνέβη*[2] *ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν*[3] *αὐτῷ*[4] *οἱ*
*οὐρανοί, καὶ εἶδεν τὸ Πνεῦμα τοῦ Θεοῦ*[5] *καταβαῖνον ὡσεὶ*
*περιστερὰν καὶ*[6] *ἐρχόμενον ἐπ᾽ αὐτόν·* 17 *καὶ ἰδοὺ φωνὴ ἐκ*
*τῶν οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν*
*ᾧ εὐδόκησα.*

---

1 ***βαπτισθεις δε***: א B C* **lat** (baptizatus autem) **syr** (כדעמדדין) // ***και βαπτισθεις***: $C^{c}$ $D^{s}$ E K L M P S U V W Γ Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect

2 ***ευθυς ανεβη***: א B $D^{s}$ W **lat** (confestim ascendit) **syr** (מחדא סלק) // ***ανεβη ευθυς***: C E K L M P S U V Γ Δ Σ Ω 047 $0211^{vid}$ 3 89 $f^{35}$ 𝔐 lect

3 ***ανεωχθησαν***: א C $D^{s}$ E K L M P S U V W Γ Δ Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect // ***ηνεωχθησαν***: B // undec.: lat (aperti sunt) syr (ואתפתחו)

4 ***αυτω***: $א^{c}$ C $D^{s}$ E K L M P S U V W Γ Δ Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect **lat** (ei) **syr** (לה) // –: א* B

5 ***το Πνευμα του Θεου***: $𝔓^{101vid}$ C $D^{s}$ E K L M P S U V W Γ Δ Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect // ***Πνευμα Θεου***: א B // undec.: lat syr

6 ***και***: $א^{c}$ C D E K L M P S U V W Γ Δ Σ Ω 047 0211 3 89 $f^{35}$ 𝔐 lect **$lat^{pm}$** (et) **syr** ([ו]אתת) // –: א* B **$lat^{pm}$**